τερον· ἀνανδρίαν ἑαυτοῦ καταψηφίζεται καὶ ὑποπίπτει τοῖς τέμνουσι, πάντα πάσχειν καὶ παρὰ φύσιν δουλεύειν ἔνθα †τὸ κερ† οὐκ ἀποκνεῖ.

Ἀπείρηκα περιπλέκων, ὦ ἄνδρες, νὴ τὴν ἱερὰν Σωφροσύνην καὶ οὓς 14
ὑμεῖς ὑπὲρ σωφροσύνης πρεσβεύετε νόμους, καὶ οὐκ οἶδ᾿ εἴπερ ἥντιναοῦν ἔμφασιν παραλέλοιπα. ἆρ᾿ οὖν μοι δοκεῖτε κίναιδον αὐτὸν εἰπεῖν; ὁ δ᾿ ἑταιρικῶς καὶ μὴ τῷ σώματι καθαρεύων, εἶτα ἐπιπηδήσας τῷ βήματι, πῶς ἂν οὗτος ὀρθῇ γνώμῃ περὶ τὸ θεῖον φέροιτο; ἢ τίνος καὶ τῶν ἀτοπωτάτων ἀποσχέσθαι βουλήσοιτο; ἢ πάντα τολμητὰ τούτῳ ἔσται, πάντα εὐεπιχείρητα; φόβος τὰ θεῖα ʽτοῖσι σώφροσι βροτῶνʼ· ὁ δ᾿, οἷς ἔφθην εἰπών, ἔνοχος ὤν, εἰκότως καὶ τότε τῶν ἀδύτων ⟨. . .⟩ ἐτόλμησε. καὶ νῦν, ἀνόσιος ἐν ὁσίοις, ἀθεμιτουργεῖν οὐκ ἀπώκνησε τὰ μὲν τῆς προτέρας ἡλικίας καὶ δὴ τοιαῦτα καὶ οὕτω νεανικά, τὰ δ᾿ ἐφεξῆς καὶ ὅσα εἰς ἄνδρας ἥκων ἐπολιτεύσατο. ἐπιπόλαιον μέν τις ἰδὼν καὶ μὴ ξυμβαλὼν τὸ πλάσμα καὶ τὴν ὑπόκρισιν, θᾶττον ἂν ἐπεφώνησεν· ʽἀνὴρ ὅδ᾿ οὐκέτ᾿ αὐτός· ἐκνεύει πάλινʼ. βραχὺ δ᾿ ἐπιστήσας καὶ καταμαθών, ταχὺ παλινῳδίαν ᾄδων ἀνταπεφώνησεν· «ʽἔστι δ᾿ ἡ πάλαι γυνήʼ· οὐ γὰρ τὸν τρόπον, ἀλλὰ τὸ σχῆμα ἐξήλλακτο.»

Αὐτίκα περὶ τοὺς νεὼς ἐνδιατρίβειν ἄρχεται, πλέον ἤπερ οἱ τῶν νεωκό- 15
ρων ἐπιμελέστεροι, καί, τοὺς ὀφθαλμοὺς ὡσεὶ κέρα ἠὲ σίδηρον ταῖς ἱεραῖς εἰκόσι ἐπερεισάμενος, ὑπεψιθύριζέ τι λεπτὸν συχνὰ ἐπὶ γόνυ πίπτων, δακρύων, θεοκλυτῶν· πᾶσι τρόποις τὸ θεοσεβὲς δοκεῖν εἶναι θηρώμενος, μηχανᾶται καὶ τὸ εὐπροσήγορον. ὑπὲρ ὅτου δὲ τὸ προσωπεῖον τοῦτο ἐπλάττετο; εἶδε, βαθὺς ὢν τὴν κακόνοιαν, ὡς ἅπασιν οἷς ἀρετῆς μέλει καὶ θεοσεβείας μέλει, καὶ τὰ ἱερὰ ἐσφοιτῶσι καὶ γίνεται θέατρον εὐσεβούντων τὸ τέμενος. εἰ γοῦν τό τε στάσιμον ἐν προσευχαῖς ἐπιδείξαιτο καὶ τὸ φιλοπροσήγορον ἐπιτεχνώσαιτο πραεῖαν καὶ μειλίχιον κερασάμενος τὴν φωνήν, ῥᾷον ἂν δελεάσῃ τοὺς ἁπλουστέρους. ἐθάμιζε καὶ περὶ τὰ σκηνεῖα καὶ τοῖς τῶν μοναχῶν ἐπισημοτέροις τὴν φήμην ἢ τὴν ἀρετὴν θαμὰ ἐπεμίγνυτο. ἄλλο τοῦτο δέλεαρ· ἐγκράτειάν τε γὰρ ἐνάκριζε καὶ τὸ ἄπραγμον ἐθαύμαζε καὶ λαχαν⟨ον⟩ηφαλίαν ἐπῄνει καὶ ὕδατος ἔσπα. ἐκ τούτου καὶ τὴν προτέραν κακοφημίαν ἀπεσκευάσατο καί τις αὐτοῦ λόγος καὶ περὶ τὰ ἀνάκτορα ἔρρει, τῶν μοναχῶν ὡς εἰκὸς διαπορθμευόντων. οὐ γὰρ ἠμέλει περιὼν ὁπόσους ᾔδει τούτων αὐλικοὺς καὶ οἰκότριβας.

Τοιοῦτον αὐτοῦ τοῦ βίου τὸ πρόσχημα, τοσοῦτον τὸ δολερὸν καὶ πολύ- 16